πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἑκάτερος ἄρα τῶν Α Δ
πρὸς τὸν Β πρῶτός ἐστιν.
καὶ ὁ ἐκ τῶν Α Δ ἄρα γενό-
μενος πρὸς τὸν Β πρῶ-
τός ἐστι. ὁ δὲ ἐκ τῶν Α Δ
γενόμενος ἀριθμός
ἐστιν ὁ Γ. οἱ Γ Β ἄρα πρῶ-
τοι πρὸς ἀλλήλους εἰσίν.
ὅπερ ἔδει δεῖξαι :-

κη Ἐὰν δύο ἀριθμοὶ πρὸς δύο ἀριθμοὺς ἀμφότεροι
πρὸς ἑκάτερον πρῶτοι ὦσιν. καὶ οἱ ἐξ αὐτῶν γε-
νόμενοι πρῶτοι πρὸς ἀλλήλους ἔσονται. δύο γὰρ
ἀριθμοὶ οἱ Α Β πρὸς δύο ἀριθμοὺς τοὺς Γ Δ ἀμ-
φότεροι πρὸς ἑκάτερον πρῶτοι ἔστωσαν. καὶ
ὁ μὲν Α τὸν Β πολλαπλασιάσας τὸν Ε ποιείτω.
ὁ δὲ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω.
λέγω ὅτι οἱ Ε Ζ πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐ-
πεὶ γὰρ ἑκάτερος τῶν Α Β πρὸς τὸν Γ
πρῶτός ἐστι. καὶ ὁ ἐκ τῶν Α Β ἄρα γενό-
μενος πρὸς τὸν Γ πρῶτός ἐστιν. ὁ δὲ
ἐκ τῶν Α Β γενόμενος ἐστὶν ὁ Ε. οἱ Ε Γ
ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν.
πάλιν ἑκάτερος τῶν Γ Δ πρὸς τὸν Ε
πρῶτός ἐστι. καὶ ὁ ἐκ τῶν Γ Δ ἄρα γε-
νόμενος πρὸς τὸν Ε πρῶτός ἐστιν. ὁ
δὲ ἐκ τῶν Γ Δ γενόμενος ἐστὶν ὁ Ζ. οἱ

Ε Ζ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ὅπερ ἔδει δεῖξαι :-

κθ Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν. καὶ
πολλαπλασιάσας ἑκάτερος ἑαυτὸν ποιῇ τινα.
οἱ γενόμενοι ἐξ αὐτῶν πρῶτοι πρὸς ἀλλήλους
ἔσονται. κἂν οἱ ἐξ ἀρχῆς τοὺς γενομένους πολ-
λαπλασιάσαντες ποιῶσί τινας. καὶ ἐκεῖνοι πρῶ-
τοι πρὸς ἀλλήλους ἔσονται. καὶ ἀεὶ περὶ τοὺς ἄκρους
τοῦτο συμβαίνει. ἔστωσαν δύο ἀριθμοὶ πρῶτοι
πρὸς ἀλλήλους οἱ Α Β. καὶ ὁ Α ἑαυτὸν μὲν πολλαπλα-
σιάσας τὸν Γ ποιείτω. τὸν δὲ Γ πολλαπλασιάσας
τὸν Δ ποιείτω. ὁ δὲ Β ἑαυτὸν μὲν πολλαπλασιά-
σας τὸν Ε ποιείτω. τὸν δὲ Ε πολλαπλασιάσας τὸν
Ζ ποιείτω. λέγω ὅτι οἵ τε Γ Ε καὶ οἱ Δ Ζ πρῶτοι
πρὸς ἀλλήλους εἰσίν. ἐπεὶ γὰρ οἱ Α Β πρῶτοι πρὸς
ἀλλήλους εἰσί. καὶ ὁ Α ἑαυτὸν πολλαπλασιάσας
τὸν Γ πεποίηκεν. οἱ Γ Β ἄρα πρῶτοι πρὸς ἀλ-
λήλους εἰσίν. ἐπεὶ οὖν οἱ Γ Β πρῶτοι πρὸς ἀλλή-
λους εἰσί. καὶ ὁ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Ε
πεποίηκεν. οἱ Γ Ε ἄρα πρῶτοι πρὸς ἀλλήλους
εἰσίν. πάλιν ἐπεὶ οἱ Α Β πρῶτοι πρὸς ἀλλήλους
εἰσίν. καὶ ὁ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πε-
ποίηκεν. οἱ Α Ε ἄρα πρῶτοι πρὸς ἀλλήλους
εἰσίν. καὶ ἐπεὶ δύο ἀριθμοὶ οἱ Α Γ πρὸς δύο ἀ-
ριθμοὺς τοὺς Β Ε ἀμφότεροι πρὸς ἑκάτερον
πρῶτοί εἰσιν. καὶ ὁ ἐκ τῶν Α Γ ἄρα γενόμενος
πρὸς τὸν ἐκ τῶν Β Ε πρῶτός ἐστιν. καί ἐστιν ὁ μὲν